# ΙΩΑΝΝΟΥ Γ

1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ
ἀγαπῶ ἐν ἀληθείᾳ.
2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε
εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί
σου ἡ ψυχή. 3 Ἐχάρην γὰρ λίαν, ἐρχομένων
ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ
ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.
4 Μειζοτέραν τούτων οὐκ ἔχω *χαράν,
ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν †ἀληθείᾳ
περιπατοῦντα.
5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ
εἰς τοὺς ἀδελφοὺς καὶ ‡εἰς τοὺς ξένους,
6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον
ἐκκλησίας· οὓς καλῶς ποιήσεις προπέμψας
ἀξίως τοῦ Θεοῦ. 7 Ὑπὲρ γὰρ τοῦ §ὀνόματος
*ἐξῆλθον μηδὲν λαμβάνοντες ἀπὸ τῶν †ἐθνῶν.
8 Ἡμεῖς οὖν ὀφείλομεν ‡ἀπολαμβάνειν τοὺς
τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.
9 §Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ᾽ ὁ
φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ
ἐπιδέχεται ἡμᾶς. 10 Διὰ τοῦτο, ἐὰν ἔλθω,
ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις

---

* **1:4** χαραν ¦ χαριν WH † **1:4** αληθεια ¦ τη αληθεια NA27 SBL TH WH ‡ **1:5** εις τους 89.8% ¦ τουτο CT 7.6% § **1:7** ονοματος ¦ ονοματος αυτου SCR * **1:7** εξηλθον ¦ εξηλθαν WH † **1:7** εθνων 88% ¦ εθνικων ANT CT 12% ‡ **1:8** απολαμβανειν 91.4% ¦ υπολαμβανειν CT 7.6% § **1:9** εγραψα ¦ εγραψα τι CT

πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.

11 Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ
ἀγαθόν. Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν· *ὁ
κακοποιῶν οὐχ ἑώρακε τὸν Θεόν. 12 Δημητρίῳ
μεμαρτύρηται ὑπὸ πάντων, καὶ †ὑπ᾽ αὐτῆς
τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ
‡οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

13 Πολλὰ εἶχον §γράφειν, ἀλλ᾽ οὐ θέλω διὰ
μέλανος καὶ καλάμου σοι *γράψαι· 14 ἐλπίζω
δὲ εὐθέως †ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα
λαλήσομεν.

Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἀσπάζου τοὺς φίλους κατ᾽ ὄνομα.

---

* **1:11** ο ¦ ο δε PCK TR † **1:12** υπ ¦ υπο CT ‡ **1:12** οιδατε 61.2% ¦ οιδαμεν PCK 23.2% ¦ οιδας CT 15% § **1:13** γραφειν ¦ γραψαι σοι CT * **1:13** γραψαι ¦ γραφειν CT † **1:14** ιδειν σε 95% ¦ σε ιδειν CT 4.8%

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.

The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:

Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.

The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-14

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 23 Apr 2024

ebdf933b-03a4-5add-853f-51a05e168973